*συνέστηκε. καὶ οὐκ ἂν θαυμάσαιμι, ⟨εἰ⟩ τούτοις μάλιστά πως τὸ ἀληθὲς συμφέρεται. κρίσις γὰρ ἡ λύπη κακοῦ τινος αὐτῷ παρόντος, ἐφ᾽ ᾧ συστέλλεσθαι καθήκει, καὶ ὁ φόβος κακοῦ μέλλοντος, ἀφ᾽ οὗ φεύγειν καθήκει καὶ ἀναχωρεῖν· ὥστε τὸν λυπούμενον αὐτὸν αὑτῷ λέγειν ὅτι ‘μοι κακὸν πάρεστι’, καὶ τὸν φοβούμενον ὁμοίως ὅτι ‘μοι κακὸν ἔσται’. ‘ἐγὼ’ δ᾽ οὐκ εἰμι ἡ ψυχή, ἀλλ᾽ ὁ ἄνθρωπος, καὶ τὸ κακὸν οὐκ ἔστι τῆς ψυχῆς, ἀλλὰ τοῦ ἀνθρώπου, πενία, νόσος, ἀδοξία, θάνατος. διὸ τήν τε λύπην καὶ τὸν φόβον ἀναγκαῖον εἶναι πάθη τοῦ ἀνθρώπου καὶ οὐχὶ τῆς ψυχῆς. καὶ γὰρ ἄλλως ὁρμὴ μὲν [προσ]πλεονάζουσα τὸ πάθος, τῷ ἀλόγῳ ⟨τὸ⟩ σφοδρὸν ἔχουσα καὶ ἀπειθές· ὁρμᾷ δὲ τὸ ζῷον, οὐχ ἡ ψυχή, πρὸς τὸ κείρασθαι, πρὸς τὸ ὁπλίσασθαι, πρὸς τὸ λούσασθαι ⟨καὶ⟩ κατακλιθῆναι· ταῦτα γάρ ἐστι τῷ ἀνθρώπῳ πρακτά, τῇ ψυχῇ δ᾽ ἀσύμπτωτα. οἷς καὶ πιθανὸν ὁρμᾶν τὸν ἄνθρωπον, οὐχὶ τὴν ψυχήν· εἰ δ᾽ ὁρμᾶν, καὶ ὀρέγεσθαι· οὐκοῦν καὶ ἀλόγως ὀρέγεσθαι, τουτέστιν ⟨ἐπιθυμεῖν⟩· εἰ δ᾽ ἐπιθυμεῖν, καὶ ἥδεσθαι· εἰ δ᾽ ἥδεσθαι, καὶ λυπεῖσθαι καὶ φοβεῖσθαι· ταῦτα γὰρ ἐκείνοις ἐξ ἀνάγκης ἕπεσθαι συμβέβηκεν· ὥστε μηδ⟨ὲν⟩ εἶναι ψυχῆς ἴδιον, ἀλλὰ καὶ χαίρειν καὶ ἄχθεσθαι καὶ ὀρέγεσθαι καὶ φοβεῖσθαι τὸν ἄνθρωπον.*

**8.** *Ταῦτα δ᾽ ἐστὶν οὐ λυόντων τὴν ἀπορίαν, ἀλλ᾽ ἀποδιδρασκόντων. καὶ γὰρ εἰ τὰ μάλιστα φαίη τις εἶναι τοῦ ἀνθρώπου ταῦτα πάθη, μένει τὸ ἀπορεῖν, τίνι καὶ κατὰ τί ταῦτα πάσχει, πότερον κατὰ τὴν ψυχὴν ἢ κατὰ τὸ σῶμα.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41302413X/53 UNIVERSITÄT LEIPZIG